**18.1**Ταῦτα εἰπὼν Ἰησοῦς ἐξῆλθεν σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν[1]τοῦ χειμάρρου[2]τοῦ Κεδρὼν[3]ὅπου ἦν κῆπος,[4]εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ. **2**ᾔδει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον, ὅτι πολλάκις[5]συνήχθη Ἰησοῦς ἐκεῖ μετὰ τῶν μαθητῶν αὐτοῦ. **3**ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν[6]καὶ ἐκ τῶν ἀρχιερέων καὶ ἐκ τῶν Φαρισαίων ὑπηρέτας[7]ἔρχεται ἐκεῖ μετὰ φανῶν[8]καὶ λαμπάδων[9]καὶ ὅπλων.[10]**4**Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ' αὐτὸν ἐξῆλθεν, καὶ λέγει αὐτοῖς· Τίνα ζητεῖτε; **5**ἀπεκρίθησαν αὐτῷ· Ἰησοῦν τὸν Ναζωραῖον.[11]λέγει αὐτοῖς· Ἐγώ εἰμι. εἱστήκει δὲ καὶ Ἰούδας ὁ παραδιδοὺς αὐτὸν μετ' αὐτῶν. **6**ὡς οὖν εἶπεν αὐτοῖς· Ἐγώ εἰμι, ἀπῆλθον εἰς τὰ ὀπίσω καὶ ἔπεσαν χαμαί.[12]**7**πάλιν οὖν ἐπηρώτησεν αὐτούς· Τίνα ζητεῖτε; οἱ δὲ εἶπαν· Ἰησοῦν τὸν Ναζωραῖον.[13]**8**ἀπεκρίθη Ἰησοῦς· Εἶπον ὑμῖν ὅτι ἐγώ εἰμι· εἰ οὖν ἐμὲ ζητεῖτε, ἄφετε τούτους ὑπάγειν· **9**ἵνα πληρωθῇ ὁ λόγος ὃν εἶπεν ὅτι Οὓς δέδωκάς μοι οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. **10**Σίμων οὖν Πέτρος ἔχων μάχαιραν[14]εἵλκυσεν[15]αὐτὴν καὶ

1. πέραν
2. χείμαρρος
3. Κεδρών
4. κῆπος
5. πολλάκις
6. σπεῖρα
7. ὑπηρέτης
8. φανός
9. λαμπάς
10. ὅπλον
11. Ναζωραῖος
12. χαμαί
13. Ναζωραῖος
14. μάχαιρα
15. ἕλκω – AAI 3S

ἔπαισεν[16]τὸν τοῦ ἀρχιερέως δοῦλον καὶ ἀπέκοψεν[17]
αὐτοῦ τὸ ὠτάριον[18]τὸ δεξιόν. ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος.[19]**11**εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ·
Βάλε τὴν μάχαιραν[20]εἰς τὴν θήκην·[21]τὸ ποτήριον ὃ δέδωκέν μοι ὁ πατὴρ οὐ μὴ πίω αὐτό;

16. παίω – AAI 3S
17. ἀποκόπτω – AAI 3S
18. ὠτάριον
19. Μάλχος
20. μάχαιρα
21. θήκη